# ΚΕΦΑ'ΛΑΙΟΝ ΙΒ'.

## Τοῦ Ἁγιωτάτου Πατριάρχου Ἀλεξανδρείας Διονυσίου, Ἐπιστολὴ προφωνητικὴ πρὸς διόρθωσιν γενομένη, πρὸς Παῦλον Σαμωσατέα τὸν αἱρετικόν, Ἐπίσκοπον Ἀντιοχείας.

Ι.

,, Καὶ πρότερόν σου γράψαντος ἀντεγράψαμεν, ἐφελκόμενοί σε εἰς τὸ ἀπαρακαλύπτως εἰπεῖν ἃ βούλῃ, καὶ νῦν γράφομεν ὡς οἷόν τε, περὶ ὧν δευτέρως εἴρηκας, δεικνῦντες ὅτι σαθρὸν ἕκαστον ῥῆμα τῶν ὑπὸ σοῦ λεχθέντων καθολικῶς, οὐδεμιᾶς ἐχόμενον πληροφορίας ἀπόδειξιν· ἱκανῶς δὲ δυνάμεθα ἀνατρέπεσθαι, τὰ δόξαντά σοι προπετῶς ἀποφήνασθαι. Δύο ὑποστάσεις λέγοντός σου, δύο πρόσωπα τοῦ ἑνὸς, καὶ μόνου Χριστοῦ, δύο Χριστοὺς, καὶ δύο Υἱοὺς ἕνα φύσει Χριστὸν καὶ ἕνα Υἱὸν τοῦ Θεοῦ, δευτέρως δ' ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ὑπάρξαντα, καὶ κατ' εὐδοκίαν Θεοῦ εἰληφότα τὸ ὄνομα τοῦ Υἱοῦ, ὡσὰν πόλις τὸ τοῦ δεσπότου, καὶ οἰκία τὸ τοῦ κτίσαντος, ἑκὼν λέληθας ὦ ἑταῖρε, ὅτι τὸ εἷς κεκήρυκται, καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ Χριστὸς Ἰησοῦς καλούμενος, Κύριος τῆς δόξης ὡς εἴρηται περὶ αὐτοῦ, ὁ καὶ σώζων τοὺς πιστεύοντας εἰς αὐτὸν, ἰδίῳ πάθει, Θεϊκῇ σωτηρίᾳ οὐκ ἀνθρωπίνῃ, αὐτὸς γάρ φησι, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· μόνῳ γὰρ Θεῷ σώζειν ἐξ ἁμαρτιῶν δυνατὸν, ὥσπερ καὶ τῷ χρεωστουμένῳ τὴν ἄφεσιν παρέχειν· τίς γὰρ, φησὶ Θεὸς, ὥσπερ σὺ, ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας; ἄκουε οὖν καὶ σύνες τὰ εἰρημένα ὑπὸ σοῦ, καὶ πρόσεχε τοῖς παρ' ἐμοῦ λεγομένοις· ἄνθρωπος εὐδοκεῖται ὑπὸ Θεοῦ μείζοσι χαρίσμασι τιμώμενος, ὅταν καὶ μειζόνως εὐδοκιμήσει ἐνθέῳ καὶ ἐναρέτῳ πολιτείᾳ· οὐδὲν δὲ τούτων θεώρηται ἐν τῷ Χριστῷ, οὔτε φρονήσεως χάριν, φιλοπονίαν οὔτε διὰ σωφροσύνην, σιτίων ἀποχῇ ὑπερβαίνοντι τὰ ἀνθρώπινα μέτρα, καὶ ὁ μὲν Ἰωάννης ἐθαυμάζετο μήτε ἄρτον ἐσθίων, μήτε οἶνον πίνων, καὶ ὁ μὲν ἐν ἐρημίᾳ διάγων ἀσκητικὸν βίον ἐτέλει πρὸς ἀρέσκειαν Θεοῦ· ὁ δὲ Ἰησοῦς σὺν τοῖς Ἀποστόλοις, γυναιξὶ καὶ λοιπαῖς, οὐ χωριζόμενος τῆς μετ' αὐτῶν, διατριβῆς, καὶ οὐ παρὰ τοῦτο οὐκ ἐδείκνυντο διαφορὰ Χριστοῦ πρὸς Ἰωάννην μεγάλῃ τῇ καθαρότητι, καὶ ἀσυγκρίτῳ τῇ δικαιοσύνῃ, Χριστῷ δὲ φύσει· οὐκοῦν ἄτοπον ἐστὶ τὸ λέγειν ἄνθρωπον τὸν Χριστὸν εὐδοκεῖσθαι τοῦ Θεοῦ παρὰ πάντας ἀνθρώπους εἰς Θεοῦ κατοίκησιν, ἄνευ τῆς ἀσκητικῆς καὶ ἐπιπόνου δικαιοσύνης. Τὸ δὲ Χριστὸς ὄνομα τῷ λόγῳ διὰ τὴν ἐν Πνεύματι κεκλήρωται χρῖσιν, σαρκωθέντι ἐκ τῆς Παρθένου Μαρίας, ὥσπερ